*Ἑρμῆ κυνάγχα, μηιονιστὶ Κανδαῦλα,*
*φωρῶν ἑταῖρε, δεῦρό μοι σκαπαρδεῦσαι.*

1 Id. schol. *exeg. Il.* p. 153. 13 Hermann.

**4** Tzetz. *exeg. Il. A* 14 p. 76. 8 Hermann *ἣν δάφνην οἱ ἱερεῖς τοῦ ἡλίου... στεφανούμενοι ἐπορεύοντο, καθὼς δηλοῖ καὶ Ἱππῶναξ ἐν τῷ κατὰ Βουπάλου ἰάμβῳ·*

*Κίκων δ' ὁ πανδάλητος ἄμμορος καύης*
*†τοιόνδε τι δάφνας κατέχων†*

1 Id. in Lyc. 425 et 741.

***4a** Hesych. *Κίκων· ὁ Κίκων Ἀμυθάονος ἦν,*
*οὐδὲν αἴσιον προθεσπίζων.*

**5** Tzetz. *Chil.* 5. 728 sqq.

*ὁ φαρμακὸς τὸ κάθαρμα τοιοῦτον ἦν τὸ πάλαι.*
*ἂν συμφορὰ κατέλαβε πόλιν θεομηνίᾳ,*
*εἴτ' οὖν λιμὸς εἴτε λοιμὸς εἴτε καὶ βλάβος ἄλλο,*
*τὸν πάντων ἀμορφότερον ἦγον ὡς πρὸς θυσίαν*
*εἰς καθαρμὸν καὶ φάρμακον πόλεως τῆς νοσούσης·*
*εἰς τόπον δὲ τὸν πρόσφορον στήσαντες τὴν θυσίαν,*
*τυρόν τε δόντες τῇ χειρὶ καὶ μᾶζαν καὶ ἰσχάδας,*
*ἑπτάκις τε ῥαπίσαντες ἐκεῖνον εἰς τὸ πέος*
*σκίλλαις συκαῖς ἀγρίαις τε καὶ ἄλλοις τῶν ἀγρίων,*
*τέλος πυρὶ κατέκαιον ἐν ξύλοις τοῖς ἀγρίοις,*
*καὶ τὴν σποδὸν εἰς θάλασσαν ἔρραινον εἰς ἀνέμους*
*εἰς καθαρμὸν τῆς πόλεως, ὡς ἔφην, τῆς νοσούσης...*